**0345-0407 - Iohannes Chrysostomus - In filium viduae**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.
On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.
Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality,
serial number '2062 317 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In filium viduaeὰ

[00002] Εἰς τὸν Υἱὸν τῆς Χήρας.

61.789

[00003] Καὶ ἐγένετο καθεξῆς, ἐπορεύετο ὁ Ἰησοῦς εἰς πόλιν καλουμένην Ναῒν, καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ, καὶ ὄχλος πολύς.

[00004] Ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ ἐξεκομίζετο τεθνηκὼς υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ, καὶ αὕτη ἦν χήρα.

[00005] Ὅλα τὰ πάθη, ἐλεεινὰ, καὶ πολλῆς συμπαθείας [61.790] μεστά.

[00006] Μονογενοῦς υἱοῦ ἀπολυθέντος τῆς παρούσης ζωῆς, ἡ γλυκυτάτη μήτηρ ἐβόα, ὅτι Προσηγορίας μόνης γεγένημαι μήτηρ, ἥστινος τὰς ἐπὶ τῷ τοκετῷ ὠδῖνας ἐτρύγησεν ὁ θάνατος.

[00007] Ἕνα βότρυν εἶχεν ἡ ἄμπελος, καὶ τοῦτον ἡ ζάλη τοῦ θανάτου συνέτριψε·

[00008] μίαν βακτηρίαν ἐκέκτητο, καὶ ταύτην ὁ κοινὸς ἀνείλετο θά [61.791] νατος.

[00009] Ἀχαράκωτον ὑπῆρχε τὸ γύναιον, καὶ τῆς βακτηρίας ἐστέρητο·

[00010] ἀβίωτον ἐθεώρει τὸν βίον.

[00011] Λοιπὸν οὐδὲ τὴν τυχοῦσαν εἶχε παραμυθίαν, υἱὸν τὸν μονογενῆ ἀπολέσασα.

[00012] Διπλῷ τῷ πόνῳ συνείχετο·

[00013] ἀπαραμύθητον εἶχε τὸ ἄλγημα·

[00014] οὐδεὶς ἐπικουφίσαι τὴν ὀδύνην ἠδύνατο·

[00015] ποταμηδὸν κατὰ τῶν παρειῶν ἔῤῥει τὰ δάκρυα, καὶ ἀφόρητον ἡ γυνὴ τὸ πένθος ἐκέκτητο.

[00016] Κατενόει τὴν τοῦ παιδὸς ὡραιότητα·

[00017] τῇ στοργῇ τὰ σπλάγχνα τῆς διανοίας ἐτέμνετο.

[00018] Καὶ αὕτη χήρα τὸ πᾶν γέγονε, τὸ πάντων βαρύτατον, τὸ πάντων ἐλεεινότερον·

[00019] καὶ τοῦ ἀνδρὸς, καὶ τοῦ μονογενοῦς ἐστέρητο.

[00020] Ὄντως ἐλεεινὸν τὸ τῆς χήρας ὄνομα, οἴκτου πεπληρωμένον, δακρύων μεμεστωμένον, συμπαθείας ἐχόμενον.

[00021] Οὐδεὶς τῶν βλεπόντων ἀπένθητος ἔμεινεν·

[00022] ἔστενον πάντων τὰ σπλάγχνα·

[00023] οὐχ εὕρισκον πρῶτον τίνα πενθῆσαι, τὸν τεθνηκότα παῖδα, ἢ τὴν ζῶσαν χήραν.

[00024] Ἀλλ' ἐσφάλην τὴν χήραν ζῶσαν προσειπών·

[00025] ποία γὰρ χήρα ζωὴν ζῇ;

[00026] κἂν γὰρ δοκῇ ζῆν (πρὸς τὰ παρόντα λέγω, οὐχὶ δὲ πρὸς τὰ μέλλοντα), τέθνηκε.

[00027] Χήρα γὰρ ἐν τοῖς παροῦσιν εἰ μὲν εὔπορος ἦν, μικρόν πως κλέπτεται τὴν ὀδύνην, ἀλείφει τὴν προσδοκίαν, θεραπεύεται τὸ τραῦμα, καὶ κουφίζεται τὸ ἄλγος, νευροῦται τῇ καρποφορίᾳ καὶ βραχύ τι πολλάκις καθεύδει.

[00028] Εἰ γὰρ καὶ πολλὰ τὰ λυποῦντα, καὶ οἱ διαρπάζοντες αὐτῆν ἕτοιμοι, ἀλλ' ὅμως τῆς πενίας ἀπούσης, ἐλαφρότερον τὸ βαρύ.

[00029] Χήρα δὲ πενιχρὰ λιμὴν δακρύων, καὶ φρέαρ πειρασμῶν, ἀτείχιστος πόλις, ἄνυδρος πηγὴ, μήτηρ στεναγμοῦ, εὐφροσύνης παράσιτος, οἰκοδέσποινα πενίας, ἀφορίας ψηφίστρια, λιμοῦ πάροικος, ὀδύνης ὑφάντρια, βακτηρία συντετριμμένη, χαλεπὸν ἀπάντημα, πικρὸν συνοικέσιον, ἀκαλλώπιστον ἄγαλμα, ἠρημωμένη στήλη, ἄῤῥιζον δένδρον, ἀφώτιστος ὁμίχλη, ἐκκλησίας πρόθυρον, ποικίλων εὐχῶν ἐπινοήτρια, κατ' ἐχθρῶν πεπαῤῥησιασμένη, κατήγορος κατ' αὐτῶν·

[00030] καὶ ὡς ἀνδρὶ, τῷ Θεῷ καταβοῶσα, καὶ ἔκδικον ἑτοιμοτάτην ἔχουσα τοῦ Θεοῦ τὴν ὀργὴν ἐκδίκησιν, σχίζουσα τοὺς οὐρανοὺς ταῖς πρὸς Θεὸν ἐπιτυχίαις, πεπικραμμένη καρδίᾳ·

[00031] τύπτουσα τὸ στῆθος, ὥσπερ δήμιος, εἰ μὴ ταχὺ εὕροι τοῦ Θεοῦ τὴν βοήθειαν, εἰς ἐκδίκησιν τῶν ἐπιβαινόντων αὐτῇ εἰς ἀδικίαν.

[00032] Καὶ ἡ ἄτεκνος, ἐπὶ γῆς πενιχρὰ, ἀπροστάτευτος, κινεῖ τὸν Θεὸν σὺν πάσαις αὐτοῦ ταῖς ἐπουρανίαις Δυνάμεσιν, εἰς ὀργὴν καὶ ἀγανάκτησιν τῶν οὐ θελόντων πείθεσθαι, κριτὴν εἶναι τὸν Θεὸν χηρῶν καὶ ὀρφανῶν.

[00033] Εἰ δὲ συμβῇ αὐτῇ παῖδα προσεῖναι, μικρόν πως τέρπεται τῇ ἡλικίᾳ, καὶ κλέπτεται τῇ προσδοκίᾳ, νευροῦται τῇ καρποφορίᾳ.

[00034] Βλέπει τὸν κλάδον, καὶ τὴν ῥίζαν ἀσπάζεται·

[00035] τὸν βότρυν κρατεῖ, καὶ τὸν φυτεύσαντα φιλεῖ·

[00036] ἔχει τὸ μέρος, καὶ τὸ ὅλον λογίζεται·

[00037] τῷ ζῶντι συμπλέκεται, καὶ τὸν νεκρὸν οὐ βδελύσσεται·

[00038] τὸν χαρακτῆρα τοῦ παιδὸς κατανοεῖ, καὶ τὴν εἰκόνα τοῦ πατρὸς ἐσοπτρίζεται.

[00039] Καὶ ἕως μὲν περίεστι τὸ παιδάριον γαληνότερον ἡ χήρα κυματίζεται ἐν τῇ τοῦ βίου τρικυμίᾳ·

[00040] εἰ δὲ συμβῇ καὶ τὸν παῖδα ζώσης τῆς μητρὸς ἀποθανεῖν, καὶ τῇ μὲν μητρὶ συντάξασθαι, τῷ δὲ πατρὶ προσρυῆναι, ὅπερ πέπονθεν ἡ παροῦσα χήρα, πᾶσαν ὑφ' ἓν ἀναδέχεται τὴν ὀδύνην.

[00041] Μόνον γὰρ τέθνηκεν ὁ μονογενὴς υἱὸς τῆς μνημονευθείσης χήρας, τὴν στολὴν τοῦ πένθους ἠμφιεσμένη, ἤρξατο προπετῆ φθέγγεσθαι ῥήματα, καὶ ὡς ἀκρίτῳ τῷ ὄντι ἐδικάζετο, βλασφήμους λόγους προσάγουσα·

[00042] ὡς βίαν ὑπομένουσα διελέγετο, λέγουσα·

[00043] Ἆρα ὁ υἱός μου μόνος τὸν κόσμον ἐβάρησεν;

[00044] Ἄλλοι στενοχωροῦνται ἐπὶ παιδοποιίαις, κἀμοῦ τῆς μόνης ὁ μόνος ἀπεσπάσθη;

[00045] Ἐγὼ ἡ ἄτονος ζῶ, καὶ ὁ ἀνὴρ τέθνηκεν ἅμα καὶ ὁ υἱός.

[00046] Ποῦ λοιπὸν παραινέσει μέ τις;

[00047] τίς δέ με περιβλέψεται;

[00048] Ἐδόκουν κἂν μικρὰν παῤῥησίαν δι' αὐτὸν κεκτῆσθαι·

[00049] ἤρκει γάρ μοι μόνον μητέρα ἀκούειν.

[00050] Ὑπομάζιόν μοι αὐτὸν ὁ πατὴρ ἄνευ χρημάτων ἐγκατέλιπε·

[00051] κἀγὼ ἡ ἀπροστάτευτος χήρα χεῖρας εἰς ἔργον ἐρείσασα, τοῦτον ἐπιμελῶς ἔθρεψα·

[00052] διπλᾶς καὶ τριπλᾶς αὐτῷ στολὰς πεποίηκα, μισθοὺς τοῖς παιδεύσασιν αὐτὸν ἁπλῶς ἐχορήγησα·

[00053] καὶ νῦν, ὅτε τὸν τρυγητὸν τῶν ἀγαθῶν προσεδόκησα, τότε τὴν χάλαζαν τῶν πειρασμῶν δέδεγμαι.

[00054] Ὢ τῆς ὀδύνης! Ἀλλ' εὗρον τί πράξω·

[00055] συνθάπτομαι τῷ υἱῷ μου·

[00056] πληροφορῶ τοὺς φθονήσαντάς μοι·

[00057] συγγενεῖς με κατήσθιον ὡς ἀνδρεῖον παῖδα κεκτημένην.

[00058] Συγχωρήσατέ μοι, πάντες οἱ βασκαίνοντές μοι τὴν εὐπαιδίαν·

[00059] ἤδη γὰρ ἐγὼ τοῦ γνησίου μου παιδὸς προκαταλαμβάνω τὸν τάφον·

[00060] ἐμοὶ γὰρ λοιπὸν τὸ ζῆν καταγέλαστον.

[00061] Ταῦτα τῆς χήρας βοησάσης καὶ ὀδυνωμένης, εὐθέως παραγενόμενος [61.792] ὁ ποιητὴς ἡμῶν Χριστὸς ὁ Θεὸς, καὶ δὼν αὐτὴν, ὁ τὰ πάντα προορῶν Θεὸς, ὁ καὶ πρὸ τοῦ ποιῆσαι τὰ πάντα σαφῶς ἐπιστάμενος·

[00062] Πρὸ τοῦ γὰρ πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε, καὶ πρὸ τοῦ ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε·

[00063] ὁ πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν, ὁ τὰ δάκρυα εἰς εὐφροσύνην μεταποιῶν, ὁ τὴν τῆς πόλεως Ναῒν πύλην ἐκκλησίαν ποιήσας, καὶ τὴν κλίνην τοῦ νεκροῦ θυσιαστήριον ἀποδείξας.

[00064] Ὅπου γὰρ ἀναστάσεως δῶρον, ἐκεῖ θυσιαστηρίου κόσμος·

[00065] καὶ ὅπου τοῦ Θεοῦ Λόγου αἱ χεῖρες ἐκτείνονται, ἐκεῖ τῆς ἀναστάσεως τὸ μέτρον ἐκτετέλεσται.

[00066] Τὸ γὰρ ἐξόδιον γέγονεν ἱερουργεῖον, καὶ ἡ ἐκκομιδὴ γέγονεν εἰσκομιδή.

[00067] Τί γάρ φησιν ὁ Εὐαγγελιστής;

[00068] Ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς·

[00069] τουτέστιν, ὁ Σωτὴρ, καὶ ὁ Θεὸς Λόγος, ὁ Χριστὸς, ἐσπλαγχνίσθη, ἰδὼν αὐτήν.

[00070] Τί ἰδών;

[00071] Χήραν ἄτεκνον, ἄνανδρον γηραλέαν, κυρτίζουσαν, γοερὰν, κόμην ἑλκύσασαν, κόνει τὴν κεφαλὴν καταπάσσουσαν, τοὺς βαρυωπεῖς ὀφθαλμοὺς ἐκτυφλώττουσαν, ἀπρεπῆ στολὴν διαῤῥήξασαν, τὸ πολυστένακτον στῆθος τύπτουσαν, καὶ βοᾷν μηκέτι ἰσχύουσαν, φρενήρη λοιπὸν γενομένην.

[00072] Ἐν τούτοις ἰδὼν αὐτὴν ὁ Ἰησοῦς, ἐσπλαγχνίσθη ἐπ' αὐτῇ, καὶ προσελθὼν εἶπεν αὐτῇ·

[00073] Μὴ κλαῖε.

[00074] Ἡ δὲ περὶ τὸ πένθος ἀσχολουμένη, εἰλικρινῶς μὴ κατανοήσασα τὸν παραγενόμενον, τὸ πένθος ἀποσεισαμένη, πρὸς τὸν Κύριον ἀνταποκριθεῖσα εἶπε·

[00075] Μὴ κλαίειν λέγεις μοι;

[00076] καὶ τίνα μοι παραμυθίαν προσοίσεις λοιπόν;

[00077] κἂν γὰρ τὸν κόσμον ὅλον κινήσῃς εἰς ἐμὴν παράκλησιν, οὐδεμίαν μοι δείξεις παράκλησιν.

[00078] Τῆς γὰρ μητρικῆς παρακλήσεως τί υἱοῦ ὑπάρχει γλυκύτερον;

[00079] καὶ μάλιστα, ὅτε χῆραι ὑπάρχουσι, καὶ μονογενέσιν υἱοῖς ἐπαγγέλλονται.

[00080] Πῶς οὖν μὴ κλαίειν λέγεις μοι;

[00081] Τὸν υἱόν μου οἱ ξένοι πενθοῦσι, κἀγὼ μὴ κλαύσω;

[00082] Οἱ λίθοι στενάζουσι, κἀγὼ σιωπήσω;

[00083] Ἡ ἐλπίς μου ἐστέρηται, ἡ ζωή μου ἐξέλιπεν, ἡ παῤῥησία μου σεσύληται, ἀνέλπιστον ἐμαυτῆς θεωρῶ τὸν βίον, καὶ γυμνὴ πάσης ἐλπίδος εἰμί.

[00084] Ἐθέρισέ μου τὴν προσδοκίαν ὁ θάνατος·

[00085] ἄπορόν με πανταχόθεν κατέστησεν·

[00086] ἐμὲ κατέλιπε, κἀκεῖνον μεθώδευσεν·

[00087] ἀφῆκε τὴν ῥίζαν, καὶ τὸν κλάδον ἀπέτεμεν·

[00088] ἐφείσατο τοῦ πρέμνου, καὶ τὸν ὡραῖον ἐμάρανεν ὄρπηκα·

[00089] τὴν παλαιὰν κατέλιπε, καὶ τὸν νέον ἐξέτεμεν.

[00090] Οὐκ ἔχω τίνα θεάσωμαι.

[00091] Εἰ μὲν γὰρ ἕτερον εἶχον υἱὸν, ἐδυνάμην τὸ πένθος ζυγοστατεῖν, καὶ τῇ ὄψει τοῦ ζῶντος τοῦ θανόντος τὸν πόνον ἀποκουφίζειν·

[00092] νῦν δὲ οὐδέν μοι καλὸν ὑπολέλειπται, πάσης εὐφροσύνης ἐστέρημαι.

[00093] Ἔβλεπον τὴν εἰκόνα τοῦ παιδὸς, καὶ ἐθεώρουν τὸν ἀρχαιότυπον αὐτοῦ πατέρα·

[00094] τοῦτον ἔχουσα, εἰς ἐκεῖνον ἐφανταζόμην·

[00095] οὐδέποτε χήραν ἐμαυτὴν ἐνόμισα.

[00096] Ὁ γὰρ ἐξ ἐκείνου τὰς συμφοράς μοι ἐπεκούφιζε, καὶ πλέον με τοῦ ἀνδρὸς ὁ ἐξ ἐμοῦ τεχθεὶς ἐθεράπευσε, καὶ λυπουμένη τοῦτον εἶχον παράκλησιν.

[00097] Εἴ ποτε ἀθυμία τὸν λογισμόν μου περιέσχε, περιελάμβανέ με·

[00098] καὶ περιπτυσσόμενος, καταφιλῶν, λόγοις παιδικοῖς τέρπων με, τὴν νεφέλην τῆς ἀθυμίας ἠφάνιζε·

[00099] καὶ λέγεις μοι, Μὴ κλαῖε τὸν υἱόν σου;

[00100] τίς εἶ σὺ ὁ τὰ τοιαῦτά μοι παραινῶν;

[00101] Τινὲς δὲ τοῦ ὄχλου προσελθόντες εἶπον πρὸς αὐτήν·

[00102] Τί τολμᾷς, ὦ γύναι, τῷ Θεῷ ἀντιλέγειν;

[00103] Ὁ Κύριος πάρεστιν;

[00104] αὐτός σοι διαλέγεται·

[00105] πρόσελθε, δεήθητι, ἱκέτευσον·

[00106] οὐ γάρ ἐστιν ἄπρακτος αὐτοῦ ἡ παρουσία.

[00107] Ἡ δὲ τοὺς ὀφθαλμοὺς ἐκμάξασα, καὶ τὴν ἐσθῆτα ἑαυτῆς περιστείλασα, καὶ τὸ στῆθος καλύψασα, προσέπεσε τοῖς ἴχνεσι τοῦ Δεσπότου, καὶ ἀποκριθεῖσα τῷ Κυρίῳ ἔφη·

[00108] Δός μοι τὸν παῖδα, καὶ λαμβάνω τὴν συμβουλίαν σου·

[00109] καὶ γὰρ ἐν παλαιότητι φύσεως ἐξετάζομαι·

[00110] βλέπω γὰρ τὴν Σάῤῥαν, καὶ τρυγῶ τὰς ἐλπίδας.

[00111] Καὶ προσελθοῦσα τοῖς ποσὶ τοῦ Ἰησοῦ, ἔλεγε·

[00112] Σύγγνωθι τῇ προπετείᾳ τῆς δούλης σου, Δέσποτα, καὶ τοῖς λόγοις τοῖς βαπτισθεῖσιν ἐν τῷ πένθει μου.

[00113] Οὐ γὰρ ἀγνοεῖς μητρὸς ὀδύνην ἐν λύπῃ τέκνων·

[00114] τοῦτο γὰρ σὸν πρόσταγμα.

[00115] Ἐπ' ἐλπίσιν ἔτρεφον τοῦτον.

[00116] Τὸν ἄνδρα ἐζημιώθην, κἂν τὸν παῖδά μοι χάρισαι·

[00117] ψυχαγώγησόν μου τὸ γῆρας·

[00118] ἤδη γὰρ ἐκλείπω.

[00119] Οὐ λέγω ὡς ἡ Μάρθα Εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός·

[00120] ἄρτι γὰρ καὶ παρὼν τὴν ψυχὴν αὐτοῦ βαστάζεις, καὶ ἀπιέναι δοκῶν οὐκ ἀπολείπῃ τινός.

[00121] Μικρὸν, Δέσποτα, συγχώρησον τῇ δούλῃ σου.

[00122] Σὺ τὸν Λάζαρον ἔκλαυσας, ὃν τῇ σῇ δυνάμει ἤγειρας ἐκ νεκρῶν·

[00123] κἀγὼ τὸν υἱόν μου μὴ κλαύσω;

[00124] Καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο τῆς σοροῦ, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

[00125] Οἱ δὲ βαστάζοντες, ἔστησαν.

[00126] Καὶ εἶπε·

[00127] Νεανίσκε, ἀνάστηθι·

[00128] ἀνάλαβε φρόνημα νεανί [61.793] σκου, καὶ τὸν θάνατον καταπάτησον.

[00129] Σοὶ λέγω, ἐγέρθητι·

[00130] μὴ βραδύνῃς πρὸς τὴν ἀνάστασιν·

[00131] Ἐγὼ γάρ εἰμι ἡ ζωὴ καὶ ἡ ἀνάστασις.

[00132] Ἐκάλεσα τὸν Λάζαρον ἐκ τάφου, καὶ οὗτος εὐθέως ἐξήλατο τοῦ μνήματος, ὡς τετάρτην ἡμέραν κατασαπεὶς ἐν τῷ μνήματι, καὶ πολλὰ τῶν σπλάγχνων ὑπὸ τῶν σκωλήκων πεπορθημένος.

[00133] Ἀλλ' ἡ φωνὴ τῆς ζωῆς τὸν νεκρὸν ὀσφράνασα εἰς εὐοσμίαν τὴν τῶν σαρκῶν ἀνεχάλκευσε λύσιν, καὶ γέγονε μήτρα τοῦ κειμένου τὸ μνῆμα.

[00134] Σοὶ δὲ προσφάτως ὁ θάνατος ἐμεθόδευσε·

[00135] σοὶ λέγω, μὴ βραδύνῃς πρὸς τὴν ἀνάστασιν·

[00136] Ἐγὼ γάρ εἰμι ἡ ἀνάστασις.

[00137] Νεκρὸς ὑπῆρχεν ὁ θεωρούμενος, καὶ ὡς ἀκούοντι τῷ τεθνεῶτι διελέγετο ὁ Κύριος.

[00138] Πότε νεκρὸς ἀκούει;

[00139] Καὶ τί φησιν ὁ Δεσπότης;

[00140] Σοὶ λέγω, ἐγέρθητι·

[00141] καὶ εὐθέως ἀνεκάθισεν ὁ νεκρός·

[00142] ὥστε οἱ θεωροῦντες ὄχλοι ἐγένοντο ὡσεὶ νεκροὶ, πρῶτον μὲν διὰ τὴν ἀπιστίαν, δεύτερον διὰ τὴν ἀλήθειαν.

[00143] Διὰ τί γὰρ μὴ κατεπήδησεν, ἀλλ' ἀνεκάθισεν;

[00144] Ὅπως ἂν ἀνεπισκίαστον τὴν ἀνάστασιν θεωρήσωσιν οἱ πάντες, καὶ μὴ φαντασία γνωρισθῇ τὸ γινόμενον.

[00145] Μονονουχὶ λέγων πρὸς αὐτούς·

[00146] Ἐγὼ ὑμᾶς πληροφορῶ τοὺς ἀκηκοότας, ὅτι ἐκεῖνος αὐτός ἐστιν ὁ πρὸς βραχὺ ἀποθανών.

[00147] Καὶ ἐκτείνας τὴν χεῖρα ὁ Ἰησοῦς, ἐπελάβετο τοῦ τεθνεῶτος, καὶ ἔδωκεν αὐτὸν ζῶντα τῇ μητρὶ αὐτοῦ.

[00148] Ἡ δὲ λαβοῦσα τὸν υἱὸν, ὑπὸ χαρᾶς καὶ ἀπιστίας συνείχετο·

[00149] χαίρουσα μὲν ἐπὶ τῇ τοῦ παιδὸς ἀναστάσει·

[00150] ἀπιστοῦσα δὲ τῇ διανοίᾳ τῶν πραγμάτων.

[00151] Μετὰ σπουδῆς τὸ γύναιον ἀκριβῶς τὸν υἱὸν κατενόει, ταῖς χερσὶν ἐψηλάφα, ὀφθαλμῶν θέσεις διερευνῶσα, ὀσφρήσεως, χειλέων, μετώπου, καὶ τοῦ παντὸς προσώπου τὴν διατύπωσιν·

[00152] εἶτα τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ ἁπλῶς εἰπεῖν, ὅλον τὸ σῶμα·

[00153] καὶ πρὸς ἑαυτὴν διελογίζετο λέγουσα·

[00154] Ἆρα, φησὶ, μήποτε πλα [61.794] νῶμαι;

[00155] μὴ ἄλλον ὑπὲρ ἄλλου κρατῶ;

[00156] μὴ πρὸς παραμυθίαν τὴν ἐμὴν, καὶ τὴν τοῦ πένθους ὑποστολὴν, καὶ πρὸς τοῦ ἄλγους ὑπερβολὴν τοῦ υἱοῦ μου τὸν θάνατον ἐσοφίσατο;

[00157] καὶ ξένον τινὰ ὡς οἰκεῖον παρέδωκεν Ἰησοῦς, τὴν ἐμὴν ὀδύνην ἐπικουφίσαι βουλόμενος;

[00158] Οὐδένα τοῦ γενομένου κέκτημαι μάρτυρα·

[00159] οὐκ εἶδον τοῦτό ποτε, οὐκ ἄλλος τῶν σὺν ἐμοὶ τεθέαται·

[00160] οὐδέποτε ἐπὶ κλίνης ὤφθη νεκρὸς ἐγηγερμένος.

[00161] Αὐτὸν δὲ τὸν υἱὸν λαβοῦσα, διελέγετο λέγουσα·

[00162] Λέγε μοι, φησὶ, καὶ μὴ δειλιάσῃς, εἰ σὺ αὐτὸς ὑπάρχεις ὁ υἱός μου·

[00163] εἰπὲ, γινώσκεις με;

[00164] γνωρίζεις με τίς εἰμι;

[00165] οἶδας εἰ ἐγώ εἰμι ἡ τεκοῦσά σε;

[00166] Ἐπιγινώσκω τοὺς χαρακτῆρας, ἀλλ' οὐ πιστεύω τῷ πράγματι·

[00167] βοᾷ ὁ ὀφθαλμὸς, ὑπογράφει ἡ κόρη, κηρύττει τὰ βλέφαρα, ἡ ἀκοὴ συμφωνεῖ, μαρτυρεῖ τὸ τῆς ὀσφρήσεως διατετυπωμένον μεσότοιχον, τὰ χείλη πληροφορεῖ, αὐτὴ ἡ ἡλικία προτρέπεται.

[00168] Κίνησον γλῶσσαν, ὦ φίλτατε, εἰπέ μοι τὰ τοῦ βίου τεκμήρια.

[00169] Ἡ χαρά μοι χειμῶνά μοι ἐκίνησε·

[00170] βλέπω σε, καὶ συνέχομαι·

[00171] ἐγώ σε ἐπ' ἀγκάλαις ἐβάστασα, ἐγὼ μαζοῖς ἐμοῖς ἐθήλασα βραχὺν ὄντα.

[00172] Λέγε μοι, τέκνον μου, σὺ ὑπάρχεις ὁ υἱός μου;

[00173] καὶ μὴ δειλιάσῃς με.

[00174] Ἀλλ' ὡς ἐπὶ πᾶσι τούτοις τὴν πληροφορίαν ἐδέξατο, καὶ ἡ πενθήσασα ὑπέστρεψε χαίρουσα, καὶ ἡ θρηνοῦσα δοξάζουσα τὸν Θεὸν, τῇ δεξιᾷ χειρὶ τὸν παῖδα κατέχουσα, καὶ διὰ τῆς πόλεως πρὸς πάντας πορευομένη βοῶσα μεγάλῃ τῇ φωνῇ·

[00175] Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό·

[00176] ὅτι τὸν ἐμὸν νεκρωθέντα ἀνέστησεν, ὅτι τὴν παλαιὰν ἄμπελον ἐχαράκωσε, καὶ τὴν μὴ μητέρα πάλιν μητέρα ἐποίησε, καὶ πηγὰς δακρύων ἐξέκοψε·

[00177] καὶ δοξάσατε τὸ ὄνομα αὐτοῦ εἰς τοὺς αἰῶνας·

[00178] ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00179] Ἀμήν.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In filium viduae**

**Litterarum Omnium Conspectus: 122 Litterae, quae repetitae sunt in 9,522 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 697 | Α | 0913 | 1 |
| β | 0946 | 54 | Β | 0914 | 1 |
| γ | 0947 | 167 | Γ | 0915 | 0 |
| δ | 0948 | 148 | Δ | 0916 | 0 |
| ε | 0949 | 507 | Ε | 0917 | 7 |
| ζ | 0950 | 48 | Ζ | 0918 | 0 |
| η | 0951 | 174 | Η | 0919 | 0 |
| θ | 0952 | 118 | Θ | 0920 | 12 |
| ι | 0953 | 374 | Ι | 0921 | 1 |
| κ | 0954 | 328 | Κ | 0922 | 16 |
| λ | 0955 | 242 | Λ | 0923 | 7 |
| μ | 0956 | 271 | Μ | 0924 | 10 |
| ν | 0957 | 805 | Ν | 0925 | 4 |
| ξ | 0958 | 25 | Ξ | 0926 | 0 |
| ο | 0959 | 639 | Ο | 0927 | 7 |
| π | 0960 | 361 | Π | 0928 | 5 |

| | | | | | |
|---|---|---|---|---|---|
| ρ | 0961 | 384 | Ρ | 0929 | 0 |
| ς | 0962 | 339 | • | 0930 | 0 |
| σ | 0963 | 374 | Σ | 0931 | 8 |
| τ | 0964 | 719 | Τ | 0932 | 9 |
| υ | 0965 | 186 | Υ | 0933 | 1 |
| φ | 0966 | 72 | Φ | 0934 | 0 |
| χ | 0967 | 96 | Χ | 0935 | 6 |
| ψ | 0968 | 13 | Ψ | 0936 | 0 |
| ω | 0969 | 92 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 7 | | | 0 |
| ῥ | 8165 | 10 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 134 | έ | 8051 | 160 | ή | 8053 | 60 | ί | 8055 | 136 | ό | 8057 | 93 | ύ | 8059 | 69 | ώ | 8061 | 21 |
| ὰ | 8048 | 57 | ὲ | 8050 | 27 | ὴ | 80852 | 93 | ὶ | 8054 | 138 | ὸ | 8056 | 146 | ὺ | 8058 | 24 | ὼ | 8060 | 18 |
| ᾶ | 8118 | 7 | | | 0 | ῆ | 8134 | 50 | ῖ | 8150 | 54 | | | 0 | ῦ | 8166 | 92 | ῶ | 8182 | 67 |
| ἀ | 7936 | 84 | ἐ | 7952 | 128 | ἠ | 7968 | 4 | ἰ | 7984 | 43 | ὀ | 8000 | 20 | ὐ | 8016 | 65 | ὠ | 8032 | 1 |
| ἁ | 7937 | 3 | ἑ | 7953 | 4 | ἡ | 7969 | 29 | ἱ | 7985 | 32 | ὁ | 8001 | 39 | ὑ | 8017 | 20 | ὡ | 8033 | 12 |
| ἂ | 7938 | 6 | ἒ | 7954 | 0 | ἢ | 7970 | 1 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 1 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 1 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 20 | ἔ | 7956 | 16 | ἤ | 7972 | 6 | ἴ | 7988 | 3 | ὄ | 8004 | 10 | ὔ | 8020 | 1 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 3 | ἥ | 7973 | 1 | ἵ | 7989 | 0 | ὅ | 8005 | 13 | ὕ | 8021 | 4 | ὥ | 8037 | 2 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 3 | ἶ | 7990 | 14 | | | 0 | ὖ | 8022 | 1 | ὦ | 8038 | 2 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 1 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 2 | ὧ | 8039 | 1 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 9 | | | 0 | ῃ | 8131 | 10 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 3 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 4 | | | 0 | ῇ | 8135 | 32 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 21 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In filium viduae**

**Verborum Omnium Conspectus: 987Verba, quae repetita sunt in 3,289,377 occasionibus**

**ἀβίωτον** [00010]
**ἀγαθῶν** [00053]
**ἄγαλμα** [00029]
**ἀγανάκτησιν** [00032]
**ἀγκάλαις** [00171]
**ἀγνοεῖς** [00113]
**ἀδελφός** [00119]
**ἀδικίαν** [00031]
**ἀθυμία** [00097]
**ἀθυμίας** [00098]
**αἱ** [00065]
**αἰῶνας** [00177] [00178]
**αἰώνων** [00178]
**ἀκαλλώπιστον** [00029]
**ἀκηκοότας** [00146]
**ἀκοὴ** [00167]
**ἀκούει** [00138]
**ἀκούειν** [00049]
**ἀκούοντι** [00137]
**ἀκριβῶς** [00151]
**ἀκρίτῳ** [00041]
**ἄλγημα** [00013]
**ἄλγος** [00027]
**ἄλγους** [00156]
**ἀλείφει** [00027]
**ἀλήθειαν** [00142]
**ἀλλ** [00028] [00143] [00166]
**Ἀλλ** [00024] [00054] [00133] [00174]
**Ἄλλοι** [00044]
**ἄλλον** [00155]
**ἄλλος** [00159]
**ἄλλου** [00155]
**ἅμα** [00045]
**Ἀμήν** [00179]
**ἄμπελον** [00176]
**ἄμπελος** [00007]
**ἂν** [00119] [00144]
**ἀναδέχεται** [00040]
**ἀνάλαβε** [00128]
**ἄνανδρον** [00071]
**ἀναστάσει** [00149]
**ἀναστάσεως** [00064] [00065]
**ἀνάστασιν** [00130] [00135] [00144]
**ἀνάστασις** [00131] [00136]
**ἀνάστηθι** [00127]
**ἄνδρα** [00116]
**ἀνδρεῖον** [00057]
**ἀνδρὶ** [00030]
**ἀνδρὸς** [00019] [00096]
**ἀνείλετο** [00008]
**ἀνεκάθισεν** [00141] [00143]
**ἀνέλπιστον** [00083]
**ἀνεπισκίαστον** [00144]
**ἀνέστησεν** [00176]
**ἄνευ** [00050]
**ἀνεχάλκευσε** [00133]
**ἀνὴρ** [00045]
**ἀνταποκριθεῖσα** [00074]
**ἀντιλέγειν** [00102]
**ἄνυδρος** [00029]
**ἀπάντημα** [00029]
**ἀπαραμύθητον** [00013]
**ἀπέθανέ** [00119]
**ἀπένθητος** [00021]
**ἀπεσπάσθη** [00044]
**ἀπέτεμεν** [00087]
**ἀπιέναι** [00120]
**ἀπιστίαν** [00142]
**ἀπιστίας** [00148]
**ἀπιστοῦσα** [00150]
**ἁπλῶς** [00052] [00152]
**ἀποδείξας** [00063]
**ἀποθανεῖν** [00040]
**ἀποθανών** [00146]
**ἀποκουφίζειν** [00091]
**ἀποκριθεῖσα** [00107]
**ἀπολείπῃ** [00120]
**ἀπολέσασα** [00011]
**ἀπολυθέντος** [00006]
**ἄπορόν** [00085]
**ἀποσεισαμένη** [00074]
**ἀπούσης** [00028]
**ἄπρακτος** [00106]
**ἀπρεπῆ** [00071]
**ἀπροστάτευτος** [00032] [00051]
**ἁπτόμενος** [00124]
**Ἄρα** [00043] [00154]
**ἄῤῥιζον** [00029]

**ἄρτι** [00120]
**ἀρχαιότυπον** [00093]
**ἀσπάζεται** [00034]
**ἀσχολουμένη** [00074]
**ἀτείχιστος** [00029]
**ἄτεκνον** [00071]
**ἄτεκνος** [00032]
**ἄτονος** [00045]
**αὐτὴ** [00167]
**αὐτῇ** [00031] [00033] [00072] [00072]
**αὕτη** [00004] [00018]
**αὐτὴν** [00061] [00068] [00072]
**αὐτήν** [00069] [00101]
**αὐτῆν** [00028]
**αὐτό** [00175]
**Αὐτὸν** [00161]
**αὐτὸν** [00048] [00050] [00052] [00147]
**αὐτὸς** [00162]
**αὐτός** [00104] [00146]
**αὐτοῦ** [00003] [00032] [00093] [00106] [00120] [00147] [00175] [00177]
**αὐτοῦ** [00004]
**αὐτούς** [00145]
**αὐτῷ** [00003] [00052] [00178]
**αὐτῶν** [00029]
**ἀφῆκε** [00087]
**ἀφόρητον** [00015]
**ἀφορίας** [00029]
**ἀφώτιστος** [00029]
**Ἀχαράκωτον** [00009]

**βακτηρία** [00029]
**βακτηρίαν** [00008]
**βακτηρίας** [00009]
**βαπτισθεῖσιν** [00112]
**βαρύ** [00028]
**βαρύτατον** [00018]
**βαρυωπεῖς** [00071]
**βασκαίνοντές** [00058]
**βαστάζεις** [00120]
**βαστάζοντες** [00125]
**βδελύσσεται** [00037]
**βίαν** [00042]
**βίον** [00010] [00083]
**βίου** [00039] [00168]
**βλασφήμους** [00041]
**Βλέπει** [00034]
**βλεπόντων** [00021]
**βλέπω** [00110] [00170]
**βλέφαρα** [00167]
**βοᾷ** [00167]
**βοᾷν** [00071]
**βοήθειαν** [00031]
**βοησάσης** [00061]
**βότρυν** [00007] [00035]
**βουλόμενος** [00157]
**βοῶσα** [00174]
**βραδύνῃς** [00130] [00135]
**βραχὺ** [00146]
**βραχύ** [00027]
**βραχὺν** [00171]

**γαληνότερον** [00039]
**γὰρ** [00025] [00026] [00027] [00028] [00041] [00059] [00060] [00062] [00064] [00066] [00077] [00078] [00091] [00096] [00109] [00110] [00113] [00114] [00118] [00120] [00143]
**γάρ** [00049] [00067] [00106] [00131] [00136]
**γεγένημαι** [00006]
**γέγονε** [00018] [00133]
**γέγονεν** [00066] [00066]
**γενομένην** [00071]
**γενομένου** [00158]
**γηραλέαν** [00071]
**γῆρας** [00117]
**γῆς** [00032]
**γινόμενον** [00144]
**γινώσκεις** [00163]
**γλυκυτάτη** [00006]
**γλυκύτερον** [00078]
**γλῶσσαν** [00168]
**γνησίου** [00059]
**γνωρίζεις** [00164]
**γνωρισθῇ** [00144]
**γοερὰν** [00071]
**γυμνὴ** [00083]
**γύναι** [00102]
**γύναιον** [00009] [00151]
**γυνὴ** [00015]

**δάκρυα** [00015] [00063]
**δακρύων** [00020] [00029] [00176]
**δὲ** [00004] [00026] [00029] [00033] [00040] [00040] [00068] [00074] [00092] [00101] [00107] [00125] [00134] [00148] [00150] [00161]
**δέ** [00047]
**δέδεγμαι** [00053]
**δεήθητι** [00105]
**δειλιάσῃς** [00162] [00173]
**δείξεις** [00077]
**δένδρον** [00029]
**δεξιᾷ** [00174]
**Δέσποτα** [00112] [00121]
**Δεσπότης** [00139]
**Δεσπότου** [00107]
**δεύτερον** [00142]
**δήμιος** [00031]
**δι** [00048]
**Διὰ** [00143]
**διὰ** [00142] [00142] [00174]
**διαλέγεται** [00104]
**διανοίᾳ** [00150]
**διανοίας** [00017]
**διαρπάζοντες** [00028]
**διαῤῥήξασαν** [00071]
**διατετυπωμένον** [00167]

**διατύπωσιν** [00151]
**διελέγετο** [00042] [00137] [00161]
**διελογίζετο** [00153]
**διερευνῶσα** [00151]
**διπλᾶς** [00052]
**Διπλῷ** [00012]
**δοκῇ** [00026]
**δοκῶν** [00120]
**δόξα** [00178]
**δοξάζουσα** [00174]
**δοξάσατε** [00177]
**Δός** [00108]
**δούλῃ** [00121]
**δούλης** [00112]
**δυνάμει** [00122]
**Δυνάμεσιν** [00032]
**δῶν** [00061]
**δῶρον** [00064]

**ἑαυτὴν** [00153]
**ἑαυτῆς** [00107]
**ἐβάρησεν** [00043]
**ἐβάστασα** [00171]
**Ἔβλεπον** [00093]
**ἐβόα** [00006]
**ἐγένετο** [00003]
**ἐγένοντο** [00142]
**ἐγέρθητι** [00129] [00140]
**ἐγηγερμένος** [00160]
**ἐγκατέλιπε** [00050]
**ἐγὼ** [00059] [00171]
**ἐγώ** [00165] [00171]
**Ἐγὼ** [00045] [00131] [00136] [00146]
**ἐδέξατο** [00174]
**ἐδικάζετο** [00041]
**Ἐδόκουν** [00048]
**ἐδυνάμην** [00091]
**ἔδωκεν** [00147]
**ἐζημιώθην** [00116]
**ἐθεράπευσε** [00096]
**Ἐθέρισέ** [00084]
**ἐθεώρει** [00010]
**ἐθεώρουν** [00093]
**ἐθήλασα** [00171]
**ἔθρεψα** [00051]
**Εἰ** [00028] [00033] [00091] [00119]
**Εἴ** [00097]
**εἰ** [00027] [00031] [00040] [00162] [00165]
**εἶ** [00100]
**εἶδον** [00159]
**εἰκόνα** [00038] [00093]
**εἰλικρινῶς** [00074]
**εἰμί** [00083]
**εἰμι** [00131] [00136] [00164] [00165]
**εἶναι** [00032]
**εἰπὲ** [00163]
**εἰπέ** [00168]
**εἶπε** [00074] [00126]
**εἰπεῖν** [00152]
**εἶπεν** [00072]
**εἶπον** [00101]
**Εἰς** [00002]
**εἰς** [00003] [00031] [00031] [00032] [00051] [00063] [00077] [00094] [00133] [00177] [00178]
**εἰσκομιδή** [00066]
**εἶτα** [00152]
**εἶχε** [00011] [00013]
**εἶχεν** [00007]
**εἶχον** [00091] [00096]
**ἐκ** [00062] [00122] [00132]
**Ἐκάλεσα** [00132]
**ἐκδίκησιν** [00030] [00031]
**ἔκδικον** [00030]
**ἐκεῖ** [00064] [00065]
**ἐκεῖνον** [00094]
**ἐκεῖνος** [00146]
**ἐκείνου** [00096]
**ἐκέκτητο** [00008] [00015]
**ἐκίνησε** [00169]
**ἐκκλησίαν** [00063]
**ἐκκλησίας** [00029]
**ἐκκομιδὴ** [00066]
**ἔκλαυσας** [00122]
**ἐκλείπω** [00118]
**ἐκμάξασα** [00107]
**ἐκτείνας** [00147]
**ἐκτείνονται** [00065]
**ἐκτετέλεσται** [00065]
**ἐκτυφλώττουσαν** [00071]
**ἐλαφρότερον** [00028]
**ἔλεγε** [00111]
**ἐλεεινὰ** [00005]
**ἐλεεινὸν** [00020]
**ἐλεεινότερον** [00018]
**ἑλκύσασαν** [00071]
**ἐλπίδας** [00110]
**ἐλπίδος** [00083]
**ἐλπίς** [00083]
**ἐλπίσιν** [00115]
**ἐμάρανεν** [00088]
**ἐμαυτὴν** [00095]
**ἐμαυτῆς** [00083]
**ἐμὲ** [00086]
**ἐμεθόδευσε** [00134]
**ἔμεινεν** [00021]
**ἐμὴν** [00077] [00156] [00157]
**ἐμοὶ** [00060] [00159] [00175]
**ἐμοῖς** [00171]
**ἐμὸν** [00176]
**ἐμοῦ** [00096]
**ἐν** [00027] [00039] [00062] [00109] [00112] [00113] [00132]
**ἓν** [00040]
**Ἐν** [00072]
**Ἕνα** [00007]
**ἐνόμισα** [00095]

ἐξ [00096] [00096]
**ἐξεκομίζετο** [00004]
**ἐξέκοψε** [00176]
**ἐξελθεῖν** [00062]
**ἐξέλιπεν** [00083]
**ἐξετάζομαι** [00109]
**ἐξέτεμεν** [00089]
**ἐξήλατο** [00132]
**ἐξόδιον** [00066]
**ἐπ** [00072] [00171]
**Ἐπ** [00115]
**ἐπαγγέλλονται** [00079]
**ἐπεκούφιζε** [00096]
**ἐπελάβετο** [00147]
**ἐπὶ** [00006] [00032] [00044] [00149] [00160] [00174] [00175]
**ἐπιβαινόντων** [00031]
**Ἐπιγινώσκω** [00166]
**ἐπικουφίσαι** [00014] [00157]
**ἐπιμελῶς** [00051]
**ἐπινοήτρια** [00029]
**ἐπίσταμαί** [00062]
**ἐπιστάμενος** [00061]
**ἐπιτυχίαις** [00030]
**ἐποίησε** [00176]
**ἐπορεύετο** [00003]
**ἐπουρανίαις** [00032]
**ἔργον** [00051]
**ἐρείσασα** [00051]
**ἔῤῥει** [00015]
**ἐσθῆτα** [00107]
**ἐσοπτρίζεται** [00038]
**ἐσοφίσατο** [00156]
**ἐσπλαγχνίσθη** [00069] [00072]
**ἔστενον** [00022]
**ἐστέρημαι** [00092]
**ἐστέρηται** [00083]
**ἐστέρητο** [00009] [00019]
**ἔστησαν** [00125]
**ἐστιν** [00106] [00146]
**ἐσφάλην** [00024]
**ἐτέμνετο** [00017]
**ἕτερον** [00091]
**ἕτοιμοι** [00028]
**ἑτοιμοτάτην** [00030]
**ἔτρεφον** [00115]
**ἐτρύγησεν** [00006]
**Εὐαγγελιστής** [00067]
**εὐθέως** [00061] [00132] [00141]
**εὐοσμίαν** [00133]
**εὐπαιδίαν** [00058]
**εὔπορος** [00027]
**εὕρισκον** [00023]
**εὕροι** [00031]
**εὗρον** [00054]
**εὐφροσύνην** [00063]
**εὐφροσύνης** [00029] [00092]
**εὐχῶν** [00029]
**ἐφανταζόμην** [00094]
**ἐφείσατο** [00088]
**ἔφη** [00107]
**ἐχαράκωσε** [00176]
**ἔχει** [00036]
**ἐχθρῶν** [00029]
**ἐχόμενον** [00020]
**ἐχορήγησα** [00052]
**ἔχουσα** [00030] [00094]
**ἔχω** [00090]
**ἐψηλάφα** [00151]
**ἕως** [00039]

**ζάλη** [00007]
**ζῇ** [00025]
**ζῆν** [00026] [00060]
**ζυγοστατεῖν** [00091]
**ζῶ** [00045]
**ζωὴ** [00131]
**ζωή** [00083]
**ζωὴν** [00025]
**ζωῆς** [00006] [00133]
**ζῶντα** [00147]
**ζῶντι** [00037]
**ζῶντος** [00091]
**ζῶσαν** [00023] [00024]
**ζώσης** [00040]

**ή** [00006] [00007] [00007] [00015] [00032] [00039] [00040] [00045] [00051] [00066] [00083] [00083] [00106] [00119] [00131] [00131] [00133] [00136] [00165] [00167] [00167] [00167] [00174] [00174]
**ἢ** [00023]
**Ἡ** [00074] [00083] [00107] [00148] [00169]
**ἤγγισε** [00004]
**ἤγειρας** [00122]
**ἡγίακά** [00062]
**ἤδη** [00059] [00118]
**ἠδύνατο** [00014]
**ἡλικίᾳ** [00033]
**ἡλικία** [00167]
**ἡμέραν** [00132]
**ἠμφιεσμένη** [00041]
**ἡμῶν** [00061]
**ἦν** [00004] [00027]
**ἠρημωμένη** [00029]
**ἤρκει** [00049]
**ἤρξατο** [00041]
**ἧς** [00119]
**ἧστινος** [00006]
**ἠφάνιζε** [00098]
**ἥψατο** [00124]

**θά** [00008]
**θάνατον** [00128] [00156]
**θάνατος** [00006] [00084] [00134]

**θανάτου** [00007]
**θανόντος** [00091]
**θεάσωμαι** [00090]
**θελόντων** [00032]
**Θεὸν** [00030] [00032] [00032] [00174]
**Θεὸς** [00061] [00061] [00069]
**Θεοῦ** [00030] [00031] [00065]
**θεραπεύεται** [00027]
**θέσεις** [00151]
**Θεῷ** [00030] [00102]
**θεωρήσωσιν** [00144]
**θεωρούμενος** [00137]
**θεωροῦντες** [00142]
**θεωρῶ** [00083]
**θρηνοῦσα** [00174]
**θυσιαστήριον** [00063]
**θυσιαστηρίου** [00064]

**ἰδοὺ** [00004]
**ἰδὼν** [00069] [00072]
**ἰδών** [00070]
**Ἰδὼν** [00068]
**ἱερουργεῖον** [00066]
**Ἰησοῦ** [00111]
**Ἰησοῦς** [00003] [00068] [00072] [00124] [00147] [00157]
**ἱκανοὶ** [00003]
**ἱκέτευσον** [00105]
**ἰσχύουσαν** [00071]
**ἴχνεσι** [00107]
**In** [00001]

**κἀγὼ** [00051] [00081] [00082] [00123]
**καθεξῆς** [00003]
**καθεύδει** [00027]
**κἀκεῖνον** [00086]
**καλὸν** [00092]
**καλουμένην** [00003]
**καλύψασα** [00107]
**κἀμοῦ** [00044]
**κἂν** [00026] [00048] [00077] [00116]
**καπνίζονται** [00124]
**καρδίᾳ** [00030]
**καρποφορίᾳ** [00027] [00033]
**κατ** [00029] [00029]
**καταβοῶσα** [00030]
**καταγέλαστον** [00060]
**κατανοεῖ** [00038]
**κατανοήσασα** [00074]
**καταπάσσουσαν** [00071]
**καταπάτησον** [00128]
**κατασαπεὶς** [00132]
**καταφιλῶν** [00098]
**κατέλιπε** [00086] [00089]
**Κατενόει** [00016]
**κατενόει** [00151]
**κατεπήδησεν** [00143]
**κατέστησεν** [00085]
**κατέχουσα** [00174]
**κατήγορος** [00029]
**κατήσθιον** [00057]
**κειμένου** [00133]
**κέκτημαι** [00158]
**κεκτημένην** [00057]
**κεκτῆσθαι** [00048]
**κεφαλὴν** [00071]
**κηρύττει** [00167]
**κινεῖ** [00032]
**κινήσῃς** [00077]
**Κίνησον** [00168]
**κλάδον** [00034] [00087]
**κλαῖε** [00073] [00099]
**κλαίειν** [00075] [00080]
**κλαύσω** [00081] [00123]
**κλέπτεται** [00027] [00033]
**κλίνην** [00063]
**κλίνης** [00160]
**κοιλίᾳ** [00062]
**κοινὸς** [00008]
**κόμην** [00071]
**κόνει** [00071]
**κόρη** [00167]
**κόσμον** [00043] [00077]
**κόσμος** [00064]
**κουφίζεται** [00027]
**κρατεῖ** [00035]
**κρατῶ** [00155]
**κριτὴν** [00032]
**κριτὴς** [00063]
**κυματίζεται** [00039]
**Κύριον** [00074] [00175]
**Κύριος** [00103] [00137]
**Κυρίῳ** [00107]
**κυρτίζουσαν** [00071]

**λαβοῦσα** [00148] [00161]
**Λάζαρον** [00122] [00132]
**λαμβάνω** [00108]
**Λέγε** [00162] [00172]
**λέγεις** [00075] [00080] [00099]
**λέγουσα** [00042] [00153] [00161]
**λέγω** [00026] [00119] [00129] [00135] [00140]
**λέγων** [00145]
**λίθοι** [00082]
**λιμὴν** [00029]
**λιμοῦ** [00029]
**λογίζεται** [00036]
**λογισμόν** [00097]
**λόγοις** [00098] [00112]
**Λόγος** [00069]
**Λόγου** [00065]

**λόγους** [00041]
**Λοιπὸν** [00011]
**λοιπὸν** [00046] [00060] [00071]
**λοιπόν** [00076]
**λύπῃ** [00113]
**λυπουμένη** [00096]
**λυποῦντα** [00028]
**λύσιν** [00133]

**μαζοῖς** [00171]
**μαθηταὶ** [00003]
**μάλιστα** [00079]
**Μάρθα** [00119]
**μάρτυρα** [00158]
**μαρτυρεῖ** [00167]
**μέ** [00046]
**με** [00047] [00057] [00085] [00096] [00097] [00098] [00163] [00164] [00173]
**μεγάλῃ** [00174]
**Μεγαλύνατε** [00175]
**μεθώδευσεν** [00086]
**μέλλοντα** [00026]
**μεμεστωμένον** [00020]
**μὲν** [00027] [00039] [00040] [00091] [00142] [00149]
**μέρος** [00036]
**μεσότοιχον** [00167]
**μεστά** [00005]
**μεταποιῶν** [00063]
**μέτρον** [00065]
**μετώπου** [00151]
**μηκέτι** [00071]
**μήποτε** [00154]
**μητέρα** [00049] [00176] [00176]
**μήτηρ** [00006] [00006] [00029]
**μήτρα** [00133]
**μήτρας** [00062]
**μητρὶ** [00004] [00040] [00147]
**μητρικῆς** [00078]
**μητρὸς** [00040] [00113]
**μίαν** [00008]
**μικρὰν** [00048]
**Μικρὸν** [00121]
**μικρόν** [00027] [00033]
**μισθοὺς** [00052]
**μνῆμα** [00133]
**μνήματι** [00132]
**μνήματος** [00132]
**μνημονευθείσης** [00041]
**μοι** [00049] [00050] [00056] [00058] [00058] [00075] [00076] [00077] [00080] [00092] [00096] [00099] [00100] [00108] [00116] [00162] [00168] [00169] [00169] [00172]
**μόνης** [00006] [00044]
**μονογενέσιν** [00079]
**μονογενῆ** [00011]
**μονογενὴς** [00004] [00041]
**Μονογενοῦς** [00006]
**μονογενοῦς** [00019]
**Μόνον** [00041]
**μόνον** [00049]
**Μονονουχὶ** [00145]
**μόνος** [00043] [00044]
**μου** [00043] [00055] [00059] [00081] [00083] [00083] [00083] [00084] [00097] [00112] [00117] [00119] [00123] [00156] [00162] [00172] [00172]

**Ναΐν** [00003] [00063]
**νατος** [00008]
**νεανί** [00128]
**Νεανίσκε** [00127]
**νεκροὶ** [00142]
**νεκρὸν** [00037] [00133]
**Νεκρὸς** [00137]
**νεκρὸς** [00138] [00160]
**νεκρός** [00141]
**νεκροῦ** [00063]
**νεκρωθέντα** [00176]
**νεκρῶν** [00122]
**νέον** [00089]
**νευροῦται** [00027] [00033]
**νεφέλην** [00098]
**νῦν** [00053] [00092]
**νῶμαι** [00154]

**ξένοι** [00081]
**ξένον** [00157]

**ὁ** [00003] [00006] [00008] [00041] [00043] [00044] [00045] [00045] [00050] [00061] [00061] [00061] [00061] [00063] [00063] [00063] [00067] [00068] [00069] [00069] [00069] [00072] [00084] [00096] [00100] [00119] [00124] [00124] [00134] [00137] [00137] [00139] [00141] [00146] [00147] [00162] [00167] [00172]
**Ὁ** [00096] [00103]
**ὀδύνην** [00014] [00027] [00040] [00113] [00157]
**ὀδύνης** [00029] [00054]
**ὀδυνωμένης** [00061]
**Οἱ** [00082] [00125]
**οἱ** [00003] [00028] [00058] [00081] [00142] [00144]
**οἶδας** [00165]
**οἰκεῖον** [00157]
**οἰκοδέσποινα** [00029]
**οἴκτου** [00020]
**Ὅλα** [00005]
**ὅλον** [00036] [00077] [00152]
**ὁμίχλη** [00029]
**ὅμως** [00028]
**ὃν** [00122]
**ὄνομα** [00020] [00175] [00177]
**ὄντα** [00171]
**ὄντι** [00041]
**Ὄντως** [00020]
**ὅπερ** [00040]
**ὅπου** [00065]
**Ὅπου** [00064]
**Ὅπως** [00144]
**ὀργὴν** [00030] [00032]
**ὀρέων** [00124]

**ὄρπηκα** [00088]
**ὀρφανῶν** [00032] [00063]
**ὀσφράνασα** [00133]
**ὀσφρήσεως** [00151] [00167]
**ὅτε** [00053] [00079]
**ὅτι** [00006] [00146] [00176] [00176] [00178]
**Οὐ** [00113] [00119]
**οὐ** [00032] [00037] [00106] [00166]
**οὐδὲ** [00011]
**Οὐδεὶς** [00021]
**οὐδεὶς** [00014]
**οὐδεμίαν** [00077]
**οὐδέν** [00092]
**Οὐδένα** [00158]
**οὐδέποτε** [00095] [00160]
**Οὐκ** [00090]
**οὐκ** [00119] [00120] [00159] [00159]
**οὖν** [00080]
**οὐρανοὺς** [00030]
**οὗτος** [00132]
**οὐχ** [00023]
**οὐχὶ** [00026]
**ὀφθαλμὸς** [00167]
**ὀφθαλμοὺς** [00071] [00107]
**ὀφθαλμῶν** [00151]
**ὄχλοι** [00142]
**ὄχλος** [00003]
**ὄχλου** [00101]
**ὄψει** [00091]

**πάθη** [00005]
**παῖδά** [00116]
**παῖδα** [00023] [00033] [00040] [00057] [00108] [00174]
**παιδάριον** [00039]
**παιδεύσασιν** [00052]
**παιδικοῖς** [00098]
**παιδοποιίαις** [00044]
**παιδὸς** [00016] [00038] [00059] [00093] [00149]
**παλαιὰν** [00089] [00176]
**παλαιότητι** [00109]
**πάλιν** [00176]
**πᾶν** [00018]
**πάντα** [00061] [00061]
**πάντας** [00174]
**πανταχόθεν** [00085]
**πάντες** [00058] [00144]
**παντὸς** [00151]
**πάντων** [00018] [00018] [00022]
**παραγενόμενον** [00074]
**παραγενόμενος** [00061]
**παραινέσει** [00046]
**παραινῶν** [00100]
**παρακλήσεως** [00078]
**παράκλησιν** [00077] [00077] [00096]
**παραμυθίαν** [00011] [00076] [00156]
**παράσιτος** [00029]
**παρέδωκεν** [00157]
**παρειῶν** [00015]
**πάρεστιν** [00103]
**πάροικος** [00029]
**παρόντα** [00026]
**παροῦσα** [00040]
**παρούσης** [00006]
**παρουσία** [00106]
**παροῦσιν** [00027]
**παῤῥησία** [00083]
**παῤῥησίαν** [00048]
**παρὼν** [00120]
**πάσαις** [00032]
**πᾶσαν** [00040]
**πάσης** [00083] [00092]
**πᾶσι** [00174]
**πατέρα** [00093]
**πατὴρ** [00050] [00063]
**πατρὶ** [00040]
**πατρὸς** [00038]
**πείθεσθαι** [00032]
**πειρασμῶν** [00029] [00053]
**πένθει** [00112]
**πενθῆσαι** [00023]
**πενθήσασα** [00174]
**πένθος** [00015] [00074] [00074] [00091]
**πένθους** [00041] [00156]
**πενθοῦσι** [00081]
**πενίας** [00028] [00029]
**πενιχρὰ** [00029] [00032]
**πεπαῤῥησιασμένη** [00029]
**πεπικραμμένη** [00030]
**πεπληρωμένον** [00020]
**πεποίηκα** [00052]
**πέπονθεν** [00040]
**πεπορθημένος** [00132]
**περὶ** [00074]
**περιβλέψεται** [00047]
**περιελάμβανέ** [00097]
**περίεστι** [00039]
**περιέσχε** [00097]
**περιπτυσσόμενος** [00098]
**περιστείλασα** [00107]
**πηγὰς** [00176]
**πηγὴ** [00029]
**πικρὸν** [00029]
**πιστεύω** [00166]
**πλα** [00154]
**πλάσαι** [00062]
**πλέον** [00096]
**πληροφορεῖ** [00167]
**πληροφορίαν** [00174]
**πληροφορῶ** [00056] [00146]
**πόδας** [00152]
**ποία** [00025]
**ποιῆσαι** [00061]
**ποιήσας** [00063]
**ποιητὴς** [00061]

**ποικίλων** [00029]
**πόλεως** [00004] [00063] [00174]
**πόλιν** [00003]
**πόλις** [00029]
**πολλὰ** [00028] [00132]
**πολλάκις** [00027]
**πολλῆς** [00005]
**πολύς** [00003]
**πολυστένακτον** [00071]
**πόνον** [00091]
**πόνῳ** [00012]
**πορευομένη** [00174]
**ποσὶ** [00111]
**ποταμηδὸν** [00015]
**Πότε** [00138]
**ποτε** [00097] [00159]
**Ποῦ** [00046]
**πράγματι** [00166]
**πραγμάτων** [00150]
**πράξω** [00054]
**πρέμνου** [00088]
**πρέπει** [00178]
**Πρὸ** [00062]
**πρὸ** [00061] [00062]
**πρόθυρον** [00029]
**προκαταλαμβάνω** [00059]
**προορῶν** [00061]
**προπετείᾳ** [00112]
**προπετῆ** [00041]
**πρὸς** [00026] [00026] [00030] [00074] [00101] [00130] [00135] [00145] [00146] [00153] [00156] [00156] [00174]
**προσάγουσα** [00041]
**προσδοκίᾳ** [00033]
**προσδοκίαν** [00027] [00084]
**προσεδόκησα** [00053]
**προσεῖναι** [00033]
**προσειπών** [00024]
**πρόσελθε** [00105]
**προσελθόντες** [00101]
**προσελθοῦσα** [00111]
**προσελθὼν** [00072] [00124]
**προσέπεσε** [00107]
**Προσηγορίας** [00006]
**προσοίσεις** [00076]
**προσρυῆναι** [00040]
**πρόσταγμα** [00114]
**προσφάτως** [00134]
**προσώπου** [00151]
**προτρέπεται** [00167]
**πρῶτον** [00023] [00142]
**πύλη** [00004]
**πύλην** [00063]
**Πῶς** [00080]
**πως** [00027] [00033]

**ῥήματα** [00041]
**ῥίζαν** [00034] [00087]

**σαρκῶν** [00133]
**Σάῤῥαν** [00110]
**σαφῶς** [00061]
**σε** [00062] [00062] [00062] [00165] [00170] [00171]
**σεσύληται** [00083]
**σῇ** [00122]
**σιωπήσω** [00082]
**σκου** [00128]
**σκωλήκων** [00132]
**Σοὶ** [00129] [00134] [00140]
**σοὶ** [00135]
**σοι** [00104]
**σὸν** [00114]
**σοροῦ** [00124]
**σου** [00099] [00108] [00112] [00121]
**σπλάγχνα** [00017] [00022]
**σπλάγχνων** [00132]
**σπουδῆς** [00151]
**στεναγμοῦ** [00029]
**στενάζουσι** [00082]
**στενοχωροῦνται** [00044]
**στῆθος** [00031] [00071] [00107]
**στήλη** [00029]
**στολὰς** [00052]
**στολὴν** [00041] [00071]
**στοργῇ** [00017]
**Σὺ** [00122]
**σὺ** [00100] [00162] [00172]
**συγγενεῖς** [00057]
**Σύγγνωθι** [00112]
**Συγχωρήσατέ** [00058]
**συγχώρησον** [00121]
**συμβῇ** [00033] [00040]
**συμβουλίαν** [00108]
**συμπαθείας** [00005] [00020]
**συμπλέκεται** [00037]
**συμφοράς** [00096]
**συμφωνεῖ** [00167]
**σὺν** [00032] [00159] [00175]
**συνείχετο** [00012] [00148]
**συνεπορεύοντο** [00003]
**συνέτριψε** [00007]
**συνέχομαι** [00170]
**συνθάπτομαι** [00055]
**συνοικέσιον** [00029]
**συντάξασθαι** [00040]
**συντετριμμένη** [00029]
**σχίζουσα** [00030]
**σῶμα** [00152]
**Σωτὴρ** [00069]

**τὰ** [00005] [00015] [00017] [00022] [00026] [00026] [00028] [00061] [00061] [00063] [00100] [00167] [00167] [00168]
**ταῖς** [00030] [00032] [00151]

τὰς [00006] [00096] [00110] [00152]
Ταῦτα [00061]
ταύτην [00008]
τάφον [00059]
τάφου [00132]
ταχὺ [00031]
τεθέαται [00159]
τεθνεῶτι [00137]
τεθνεῶτος [00147]
τέθνηκε [00026]
τέθνηκεν [00041] [00045]
τεθνηκότα [00023]
τεθνηκὼς [00004]
τεκμήρια [00168]
τέκνον [00172]
τέκνων [00113]
τεκοῦσά [00165]
τέρπεται [00033]
τέρπων [00098]
τετάρτην [00132]
τεχθεὶς [00096]
τῇ [00004] [00004] [00017] [00027] [00033] [00033] [00033] [00039] [00040] [00091] [00112] [00121] [00122] [00147] [00149] [00150] [00174] [00174]
τὴν [00011] [00014] [00016] [00023] [00024] [00027] [00027] [00030] [00031] [00034] [00038] [00040] [00041] [00053] [00058] [00063] [00063] [00071] [00084] [00087] [00089] [00093] [00098] [00107] [00108] [00110] [00120] [00130] [00133] [00135] [00142] [00142] [00144] [00147] [00151] [00156] [00156] [00157] [00174] [00176] [00176]
Τῆς [00078]
τῆς [00002] [00004] [00006] [00009] [00017] [00020] [00028] [00040] [00041] [00044] [00054] [00061] [00063] [00065] [00098] [00112] [00124] [00133] [00167] [00174]
Τί [00067] [00070] [00102]
τί [00054] [00078] [00139] [00143]
τι [00027]
τίνα [00023] [00076] [00090]
τινὰ [00157]
Τινὲς [00101]
τινός [00120]
τίς [00047] [00100] [00164]
τις [00046]
Τὸ [00066]
τὸ [00009] [00013] [00015] [00018] [00018] [00018] [00020] [00027] [00027] [00028] [00031] [00036] [00036] [00039] [00060] [00065] [00071] [00074] [00074] [00091] [00107] [00117] [00133] [00144] [00151] [00152] [00167] [00175] [00175] [00177]
τοιαῦτά [00100]
τοῖς [00027] [00052] [00107] [00111] [00112] [00112]
τοκετῷ [00006]
τολμᾷς [00102]
Τὸν [00081] [00116]
τὸν [00002] [00010] [00011] [00023] [00032] [00032] [00034] [00035] [00035] [00037] [00038] [00040] [00043] [00053] [00059] [00074] [00074] [00077] [00083] [00087] [00088] [00089] [00091] [00093] [00097] [00099] [00108] [00116] [00122] [00123] [00128] [00132] [00133] [00148] [00151] [00156] [00161] [00174] [00174] [00175] [00176]
τότε [00053]
τοῦ [00007] [00016] [00019] [00019] [00030] [00031] [00038] [00038] [00039] [00041] [00059] [00061] [00062] [00062] [00063] [00065] [00088] [00091] [00091] [00093] [00096] [00101] [00107] [00111] [00132] [00133] [00147] [00149] [00151] [00156] [00156] [00156] [00158] [00168]
τοὺς [00030] [00056] [00071] [00107] [00146] [00152] [00166] [00177] [00178]
τουτέστιν [00069]
τοῦτό [00159]
τοῦτο [00114]
τούτοις [00072] [00174]
τοῦτον [00007] [00051] [00094] [00096] [00115]
τραῦμα [00027]
τρικυμίᾳ [00039]
τριπλᾶς [00052]
τρυγητὸν [00053]
τρυγῶ [00110]
τύπτουσα [00031]
τύπτουσαν [00071]
τυχοῦσαν [00011]
τῷ [00006] [00012] [00030] [00037] [00040] [00041] [00055] [00102] [00107] [00112] [00132] [00137] [00166]
τῶν [00015] [00021] [00031] [00032] [00053] [00053] [00063] [00063] [00124] [00132] [00132] [00133] [00150] [00159] [00178]

υἱοῖς [00079]
Υἱὸν [00002]
υἱὸν [00011] [00091] [00148] [00151] [00161]
υἱόν [00081] [00099] [00123]
υἱὸς [00004] [00041]
υἱός [00043] [00045] [00162] [00172]
υἱοῦ [00006] [00078] [00156]
υἱῷ [00055]
ὑμᾶς [00146]
ὑπάρχει [00078]
ὑπάρχεις [00162] [00172]
ὑπάρχουσι [00079]
ὑπὲρ [00155]
ὑπερβολὴν [00156]
ὑπέστρεψε [00174]
ὑπῆρχε [00009]
ὑπῆρχεν [00137]
ὑπὸ [00132] [00148]
ὑπογράφει [00167]
ὑπολέλειπται [00092]
Ὑπομάζιόν [00050]
ὑπομένουσα [00042]
ὑποστολὴν [00156]
ὑφ [00040]
ὑφάντρια [00029]
ὑψώσωμεν [00175]

φαντασία [00144]
φησὶ [00154] [00162]
φησιν [00067] [00139]
φθέγγεσθαι [00041]
φθονήσαντάς [00056]
φιλεῖ [00035]
φίλτατε [00168]
φρέαρ [00029]
φρενήρη [00071]
φρόνημα [00128]
φύσεως [00109]
φυτεύσαντα [00035]
φωνὴ [00133]
φωνῇ [00174]

χαίρουσα [00149] [00174]
χάλαζαν [00053]
χαλεπὸν [00029]

**χαρά** [00169]
**χαρακτῆρα** [00038]
**χαρακτῆρας** [00166]
**χαρᾶς** [00148]
**χάρισαι** [00116]
**χειλέων** [00151]
**χείλη** [00167]
**χειμῶνά** [00169]
**χεῖρα** [00147]
**χεῖρας** [00051] [00152]
**χεῖρες** [00065]
**χειρὶ** [00174]
**χερσὶν** [00151]
**Χήρα** [00027] [00029]
**χήρα** [00004] [00018] [00025] [00039] [00040] [00051]
**χῆραι** [00079]
**Χήραν** [00071]
**χήραν** [00023] [00024] [00095]
**Χήρας** [00002]
**χήρας** [00020] [00041] [00061]
**χηρῶν** [00032] [00063]
**χρημάτων** [00050]
**Χριστὸς** [00061] [00069]

**ψηφίστρια** [00029]
**ψυχαγώγησόν** [00117]
**ψυχὴν** [00120]

ὦ [00102] [00168]
**Ὦ** [00054]
**ὧδε** [00119]
**ὠδῖνας** [00006]
**ὡραῖον** [00088]
**ὡραιότητα** [00016]
**ὡς** [00030] [00041] [00042] [00057] [00119] [00132] [00137] [00157] [00174]
**Ὡς** [00004]
**ὡσεὶ** [00142]
**ὥσπερ** [00031]
**ὥστε** [00142]
**ὤφθη** [00160]